†Ο ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΥΠΡΟΥ
ΧΡΥΣΟΣΤΟΜΟΣ Β΄

Παναγιώτατε Ἀρχιεπίσκοπε Κωνσταντινουπόλεως, Νέας Ῥώμης καὶ Οἰκουμενικὲ Πατριάρχα, λίαν ἡμῖν ἀγαπητὲ καὶ περισπούδαστε ἀδελφὲ καὶ συλλειτουργέ, κύριε Βαρθολομαῖε, τὴν Ὑμετέραν γερασμιωτάτην Παναγιότητα ἀδελφικῶς ἐν Κυρίῳ κατασπαζόμενοι, ὑπερήδιστα προσαγορεύομεν.

«Ἐγενόμην νεκρὸς καὶ ἰδοὺ ζῶν εἰμί», Ἀποκ. α΄, 18.

Χαρᾷ ἐνηχούμενοι σήμερον τοῦ τοιούτου λαμπροῦ μηνύματος, ἀπευθύνομεν τῇ Ὑμετέρᾳ γερασμιωτάτῃ Παναγιότητι τὸν εὐφρόσυνον πασχάλιον χαιρετισμὸν μετὰ τοῦ μεγάλου Παύλου, εἰδότες ὅτι καὶ ἐν τῇ θνητῇ σαρκὶ ἡμῶν φανερωθήσεται εὐχαῖς ἁγίων, ἡ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ καινὴ ζωή (Β΄ Κορ. δ΄).

- ΧΡΙΣΤΟΣ ΑΝΕΣΤΗ ! -

Χαίροντες ἐπὶ "ταύτῃ τῇ κλητῇ καὶ ἁγίᾳ ἡμέρᾳ", περιπτυσσόμεθα νοερῶς τὴν Ὑμετέραν γερασμιωτάτην Παναγιότητα ὅλῃ ψυχῇ καὶ καρδίᾳ συγχαίροντες Αὐτῇ. Ἐπὶ τούτοις ὁλοθύμως δεόμεθα τοῦ νικητοῦ τοῦ θανάτου διαφυλάττειν Αὐτὴν ἐν ὑγιείᾳ, ἀκμῇ σώματος καὶ πνεύματος, θεοφιλῶς καρποφοροῦσαν ἐν τῇ Ἁγίᾳ Αὐτοῦ Μεγάλῃ Ἐκκλησίᾳ.

Παρακαλοῦντες δὲ διαβιβασθῆναι τὰς πασχαλίους ἡμῶν εὐχὰς τοῖς περὶ τὴν Ὑμετέραν θεοτίμητον Κορυφὴν ἁγίαν καὶ ἱερὰν Σύνοδον συγκροτοῦσι σεβασμίοις Ἱεράρχαις, προσνέμομεν Αὐτῇ καὶ αὖθις τὸν ἐν Χριστῷ Ἀναστάντι ἀσπασμὸν καὶ διατελοῦμεν

Τῆς Ὑμετέρας γερασμιωτάτης Παναγιότητος
ἀγαπητὸς ἐν Χριστῷ ἀδελφὸς

† ὁ Κύπρου Χρυσόστομος

Ἐν τῇ Ἱερᾷ Ἀρχιεπισκοπῇ Κύπρου,
Ἅγιον Πάσχα 2014